UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Theodōritu Episkopu Kyru Kai Eyagriu Scholastiku Ekklēsiastikē Istoria, Eklogai Apo Tōn Istoriōn Philostorgiu Kai Theodōru

**Theodoretus <Cyrrhensis>**

**Mogvntiae, 1679**

XVII. De morte Leonis, & de Imperio Leonis Junioris, & Zenonis patris ejusdem.

urn:nbn:de:hbz:466:1-14162

Visual Library

A

## Κεφ. ιζ.

Περὶ τῆς τελευτῆς λέοντος, καὶ βασιλείας τοῦ μικροῦ λέοντος καὶ αὖθις ζήνωνος τοῦ πατρὸς αὐτοῦ.

Κατὰ τοῦτον τὸν χρόνον λέων ὁ βασιλεὺς ἐν βυζαντίῳ τὴν βασιλείαν ἀποτίθεται, ἑπτακαίδεκα ταύτην ἔτη ἰθύνας, λέοντα τῆς ἑαυτοῦ θυγατρὸς ἀριάδνης καὶ ζήνωνος υἱὸν ἔτι νήπιον, βασιλέα χειροτονήσας. μεθ' ὃν ζήνων ὁ πατὴρ, τὸ ἀλουργὲς σχῆμα περιτίθεται, βερίνης τῆς λέοντος γυναικὸς ὡς γαμβρῷ συνεπιλαβούσης· τελευτήσαντος δὲ τοῦ παιδὸς μετὰ χρόνον βραχὺν, ὁ ζήνων μόνος διέμεινε κρατῶν τῆς ἡγεμονίας. ἃ δὲ πρὸς αὐτοῦ ἢ καὶ αὐτοῦ πέπρακται, καὶ ὅσα ἕτερα ξυνηνέχθη, τὰ ἑξῆς παραστήσει τοῦ κρείττονος ἐπινεύοντος. B

Τέλος τοῦ β΄. λόγου.

Εἰσὶν ὡς ἐν ἐπιτομῇ τὰ ἐν τῇ συνόδῳ τῇ ἐν καλχηδόνι συλλεγείσῃ κεκινημένα ἐν τούτοις.

## Cap. XVII.

*De morte Leonis, & de Imperio Leonis Iunioris & Zenonis patris ejusdem.*

Eodem tempore Imperator Leo Constantinopoli Imperium deposuit, cum per annos septendecim regnasset, & Leonem Ariadnæ filiæ suæ, ac Zenonis filium, Imperatorem renuntiasset. Post quem Zeno purpuram sumpsit, Verina Leonis conjuge eum tanquam generum adjuvante. Nec multò post mortuo Leone filio, Zeno solus imperium obtinuit. Quæ autem ab illo vel adversus illum gesta sunt, & quæcunque ejus temporibus evenerunt, sequens liber, DEO juvante explicabit.

*Finis Libri secundi.*

Gesta Chalcedonensis Concilii in compendium redacta, sunt hujusmodi.

## Κεφ. ιη΄.

Ἐπιτομὴ τῶν κινηθέντων ἐν τῇ εἰς καλχηδόνα συνόδῳ, ἐν τῷ τέλει τοῦ δευτέρου τόμου τεθειμένη.

Τὸν τόπον λέοντος ἀρχιερέως τῆς πρεσβυτέρας ῥώμης ἐπλήρουν πασχασῖνος καὶ λουκέντιος ἐπίσκοποι, καὶ βονιφάτιος πρεσβύτερος· C ἀνατολίου τοῦ κωνσταντίνου προεδρεύοντος, καὶ τοῦ ἀλεξανδρέων διοσκόρου ἐπισκοπεύοντος, μαξίμου τε αὖ ἀντιοχείας, καὶ ἰουβεναλίου ἱεροσολύμων, καὶ τῶν ἀμφ' αὐτοὺς ἐπισκόπων· οἷς παρῆσαν οἱ τὰ κορυφαῖα τῆς ὑπερφυοῦς γερουσίας ἔχοντες. πρὸς οὓς οἱ τὸν τόπον πληροῦντες λέοντος ἔφασκον, μὴ δεῖν διόσκορον συγκάθεδρον σφίσι γενέσθαι· τοῦτο γὰρ αὐτοῖς ἐπιτρέψαι τὸν λέοντα· ἢ εἰ τοῦτο γένηται, αὐτοὺς ἔξω τῆς ἐκκλησίας γενέσθαι. καὶ πυνθανομένης τῆς γερουσίας, τίνα τὰ ἐπαγόμενα τῷ διοσκόρῳ εἴη, D διεξῆλθον λόγον ὀφείλειν τὸν διόσκορον δοῦναι τῆς ἰδίας κρίσεως, πρόσωπον κριτοῦ παρὰ τὸ εἰκὸς ἀνειληφότα, τῆς ἐπιτροπῆς ἄνευ τοῦ τὴν ἐπισκοπὴν ῥώμης πρυτανεύοντος. ὧν εἰρημένων, καὶ διοσκόρου κρίσει τῆς συγκλήτου ἀνὰ τὸ μέσον στάντος χῶρον, εὐσέβιος ὁ τοῦ δορυλαίου ἐπίσκοπος ἐζήτει τὰς ἐπιδεδομένας παρ' αὐτοῦ τῇ βασιλείᾳ δεήσεις ἀναγνωσθῆναι, φήσας ἐπὶ λέξεως ταῦτα. ἠδίκημαι παρὰ διοσκόρου, ἠδίκηται ἡ πίστις. ἐφονεύθη φλαβιανὸς ὁ ἐπίσκοπος, ἅμα ἐμοὶ ἀδίκως καθῃρέθη παρ' αὐτοῦ· κελεύσατε

## Cap. XVIII.

*Compendium actorum Synodi Chalcedonensis, positum in fine libri secundi.*

Leonis Romani Pontificis vices agebant Paschasinus & Lucentius Episcopi, & Bonifacius presbyter. Anatolius verò Constantinopolitanæ sedis Antistes, & Dioscorus Alexandrinæ: Maximus item Antiochiæ, & Juvenalis Hierosolymorum Archiepiscopi residebant, unà cum Episcopis, quos secum adduxerant. Aderant etiam ex Senatoribus urbis Regiæ nobilissimi quique. Quibus Leonis Papæ Vicarii dixerunt, non debere Dioscorum unà cum ipsis in Concilio residere. Id enim sibi mandatum esse ab Episcopo suo. Quod nisi fieret, se protinus Ecclesia excessuros. Cumque Senatores interrogassent, quænam essent crimina, quæ objiciebantur Dioscoro, responderunt, debere illum judicii sui rationem reddere, qui contra fas personam Judicis suscepisset, absque permissu Romani Pontificis. Quibus dictis, cum Dioscorus ex decreto Senatus in medio constitisset, Eusebius Episcopus Dorilæi postulavit, ut libellus precum, quem Imperatori obtulerat, recitaretur, his verbis usus. Injuria affectus sum à Dioscoro. Fides injuriâ affecta est. Occisus est Flavianus Episcopus, & mecum injuste depositus ab illo. Jubete



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN